ἀρθρ. ϛιχ.

κινήσεων, αἷς σώζεται ξύμπαν δέμας,
πάλην τε τήνδ᾽ ἔτρεψεν ἐς τοὐναντίον.
τοῦ δρῶντος οὖν ἀρθέντος ἄρδην ἐκ μέσου,
δρᾶσις πέπαυται κἀντέρεισις αὐτίκα,
αἳ δὴ ξυνῆπτον τὴν μετ᾽ ἀλλήλων πάλην·
ξὺν ταῖσδ᾽ ἄρα ξύμπτωμά τ᾽ ἠμαύρωθ᾽ ἅπαν, ιθ. 382
σύμπασά θ᾽ ἡ τούτοισι σύγκροτος νόσος.
τούτου γε μὴν μένοντος, ἠμαυρωμένων
κινήσεών τε κἀντερείσεως ὅλως,
ἀμοιβὸς ἥδ᾽ ἔληξεν ὡσαύτως πάλη,
σύμπτωμ᾽ ἅπαν, νόσος τε, καὶ τὸ ζῆν δ᾽ ἅμα ια. 231
ὀλέθριόν τ᾽ εἴληφεν ἡ πάλη τέλος.

ΚΓ. Κἂν εἴποτ᾽ ἀντέρεισις ἐμμένειέ τις,
κινήσεων δήπου τις ἀρτίων βλάβη,
ἀναιρεθέντος τοῦδε καίπερ αἰτίου,
οὐ πρόσθεν ἂν λήξειεν, εἰμή γ᾽ ἠρέμα
ἰσορροπήσει ἰσομοιρίας σθένος
κινήσεων τῶνδ᾽· εἰδέ γ᾽ ὀψιαιτέρως,
οὐδ᾽ ἂν θάλασσ᾽ ἔληξε κυματουμένη
παραυτὰ, καίπερ ἐκλιπόντων πνευμάτων,
οὐ κυματώδης βόμβος αὖ παραυτίκα
κώδωνος ἠτρέμησε βομβώδους ἄγαν,
οὐδ᾽ αὐτίκ᾽ ἠρέμησεν, ἠρεμηκότος
καίτοι δονοῦντος, ἐκκρεμῶν δόνημ᾽ ἅπαν.

ΚΔ. Μακρῷ δὲ ῥᾶον γίγνετ᾽ ἐμμονωτέρα
ἥδ᾽ ἀντέρεισις καὶ διαρκεῖ ᾿πὶ πλέον,

εἰ